σου ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν.

Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου, μὴ μνησθῇς.

Κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ, ἕνεκεν τῆς χρηστότητός σου κύριε.

Χρηστὸς καὶ εὐθὴς ὁ κύριος, διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.

Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.

Πᾶσαι αἱ ὁδοὶ κυρίου ἔλεος καὶ ἀλήθεια, τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ, καὶ τὰ μαρτύρια αὐτοῦ

Ἕνεκεν τοῦ ὀνόματός σου κύριε, καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου, πολλὴ γάρ ἐστι.

Τίς ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον, νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ᾑρετίσατο.

Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν

Κραταίωμα κύριος τῶν φοβουμένων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς.

Οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.

Ἐπίβλεψον